© www.astrothesaurus.gr

***Περὶ δεξιῶν καὶ ἀριστερῶν***

*Οὐ μόνον δὲ τοῦτο δεῖ σκοπεῖν, εἰ ἐν ὁμοζώνοις ἢ ἐν ἰσαναφόροις τυγχάνοιεν οἱ ἀστέρες, ἀλλὰ καὶ ποῖος μὲν δεξιός, ποῖος δὲ ἀριστερός, ἤτοι ὁ ἀγαθοποιὸς ἢ ὁ κακοποιός· ὁ γὰρ δεξιὸς μᾶλλον ἀποτελεῖ τὰ οἰκεῖα ἤπερ ὁ ἀριστερός· τοῦτο δὲ οὐ μόνον ἐπὶ τούτου δεῖ ζητεῖν, ἀλλὰ καὶ ἐπὶ τῶν σχημάτων. κἀκεῖ γὰρ δεῖ σκοπεῖν, ποῖος μὲν τὴν δεξιὰν πλευρὰν ἐπέχει τοῦ τριγώνου ἢ τοῦ τετραγώνου ἢ τοῦ ἑξαγώνου, ποῖος δὲ τὴν ἀριστεράν· καὶ ἄξιόν ἐστι ζητῆσαι, πῶς μὲν λαμβάνεται τὸ δεξιὸν μέρος, πῶς δὲ τὸ ἀριστερόν· καὶ λέγομεν, ὅτι ἐπὶ παντὶ σχήματι, καὶ ἐφ' ὧν μή ἐστι σχῆμα, ἐκεῖνος λέγεται δεξιὸς ἀστήρ, ὅστις ἐν προηγουμένοις ζῳδίοις ὑπάρχει, ἀριστερὸς δέ, ὅστις ἐν ἑπομένοις· οἷον εἰ ὑπάρχει ὁ μὲν ἐν Ἰχθύσιν, ὁ δὲ ἐν Κριῷ, δεξιὸς μὲν λέγεται ὁ ἐν Ἰχθύσιν, ἀριστερὸς δὲ ὁ ἐν Κριῷ.*

*καὶ οὕτως μὲν ἐφεξῆς ἐπὶ τῶν ἀσυνδέτων. ἐπὶ δὲ τῶν σχημάτων, εἰ ὑπόθηταί τις τὸν μὲν Δία ἐν Κριῷ, τὸν δὲ Ἥλιον ἐν Λέοντι, τὴν δὲ Σελήνην ἐν Τοξότῃ, δεξιὸς μέν ἐστιν ὁ Ζεὺς ὡς πρὸς τὸν Ἥλιον, ἐπειδὴ ἐν προηγουμένοις ἐστὶ ζῳδίοις, ἀριστερὸς δὲ ὡς πρὸς τὴν Σελήνην, ἐπειδὴ προηγεῖται τοῦ Κριοῦ ὁ Τοξότης, κυκλικὸν ἡμῶν νοούντων τὸν ζῳδιακόν· ἐκεῖνο γὰρ λέγομεν προηγεῖσθαι ζῴδιον τὸ πρὸ ἓξ ζῳδίων καὶ ἐφεξῆς ὑπάρχον τοῦ ἄλλου ζῳδίου· ὁ δὲ Ἥλιος ἀριστερὸς μὲν ὡς πρὸς τὸν ἀριστερὸν Δία, δεξιὸς δὲ ὡς πρὸς τὴν Σελήνην, καὶ ἡ Σελήνη δεξιὰ μὲν ὡς πρὸς τὸν Δία, ἀριστερὰ δὲ ὡς πρὸς τὸν Ἥλιον.*

*Ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων τὸ δεξιὸν καὶ ἀριστερὸν μέρος κατὰ τὰ προηγούμενα καὶ ἑπόμενα.*